## 18 ΜΑΡΤΙΟΥ 2017

## ΤΩι ΣΑΒΒΑΤΩι
## ΤΗΣ Γ΄ ΕΒΔΟΜΑΔΟΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ

Κυρίλλου ἀρχιεπισκόπου Ἱεροσολύμων(†386). Τροφίμου, Εὐκαρπίωνος καὶ τῶν σὺν αὐτοῖς μαρτύρων (†300).

* * * * *

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,
Συναπτὴ μεγάλη, μεθ᾿ ἣν ἐκφώνησις·
Ὅτι πρέπει σοι πᾶσα δόξα...

* * *

Ἦχος πλ. δ΄.

Ἀλληλούϊα. (ἐκ γ΄).

Στίχ. α΄. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε· κατασκηνώσουσιν ἐν ταῖς αὐλαῖς σου. (Ψαλμ. ξδ΄ 5)

Ἀλληλούϊα. (ἐκ γ΄).

Στίχ. β΄. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει τὴν γῆν. (Ψαλμ. κδ΄ 13)

Ἀλληλούϊα. (ἐκ γ΄).

Στίχ. γ΄. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. (Ψαλμ. ρλδ΄ 13)

Ἀλληλούϊα. (ἐκ γ΄).

### ΑΠΟΛΥΤΙΚΙΑ

Τὸ μαρτυρικόν. Ἦχος β΄.

Ἀπόστολοι, Μάρτυρες καὶ Προφῆται, Ἱεράρχαι Ὅσιοι καὶ Δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, παῤῥησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Δόξα. Νεκρώσιμον.

Μνήσθητι Κύριε, ὡς ἀγαθὸς τῶν δούλων σου, καὶ ὅσα ἐν βίῳ ἥμαρτον συγχώρησον· οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ σὺ ὁ δυνάμενος, καὶ τοῖς μεταστᾶσι δοῦναι τὴν ἀνάπαυσιν.

Καὶ νῦν. Θεοτοκίον.

Μήτηρ ἁγία ἡ τοῦ ἀφράστου φωτός, ἀγγελικοῖς σε ὕμνοις τιμῶντες μεγαλύνομεν.

Συναπτὴ μικρά, μεθ᾿ ἣν ἐκφώνησις·
Ὅτι σὸν τὸ κράτος...

* * *

### ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄ Στιχολογίαν, Καθίσματα
Μαρτυρικὰ τοῦ τυχόντος ἤχου.

Ἦχος πλ. α΄.

Κύριε, τὸ ποτήριον τοῦ πάθους σου, οἱ Ἀθλοφόροι σου ζηλώσαντες, κατέλιπον τὴν τοῦ βίου τερπνότητα, καὶ γεγόνασι τῶν Ἀγγέλων συμμέτοχοι. Αὐτῶν ταῖς παρακλήσεσι, παράσχου ταῖς ψυχαῖς ἡμῶν, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τὰ θαύματα τῶν ἁγίων σου Μαρτύρων, τεῖχος ἀκαταμάχητον, ἡμῖν δωρησάμενος Χριστὲ ὁ Θεός, ταῖς αὐτῶν ἱκεσίαις, βουλὰς ἐθνῶν διασκέδασον· τῆς βασιλείας τὰ σκῆπτρα κραταίωσον, ὡς μόνος Ἀγαθὸς καὶ φιλάνθρωπος.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος, πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

Διωγμοὺς καὶ κινδύνους ὑπεριδόντες, καὶ τυράννων τὰ θράση μὴ πτοηθέντες, παῤῥησίᾳ τὸν Χριστὸν ἀνεκήρυττον· καὶ βασάνων αἰκισμοὺς ὑπομείναντες στεῤῥῶς, εἰδώλων πλάνην καθεῖλον, καὶ κράτος τοῦ Διαβόλου, οἱ Ἀθλοφόροι σαφῶς νικήσαντες.

Δόξα. Νεκρώσιμον.

Ἀντὶ τοῦ Ἀνάπαυσον Σωτὴρ ἡμῶν,... ὅ περ θὰ ψαλῇ ὑποχρεωτικῶς μετὰ τὰ εὐλογητάρια, ψάλλεται τὸ ἑξῆς·

Γινώσκεις ὁ Θεὸς ἡμῶν, ὅτι ἐν ἁμαρτίαις γεγεννήμεθα· διό σε ἱκετεύομεν· τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον, παρορῶν ὡς ἀγαθὸς τὰ πλημμελήματα, ἃ ὡς ἄνθρωποι καὶ

θνητοὶ ἐν βίῳ ἔπραξαν, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ ἐκ Παρθένου ἀνατείλας, τῷ κόσμῳ Χριστὲ ὁ Θεός, υἱοὺς φωτὸς δι᾽ αὐτῆς ἀναδείξας· Ἐλέησον ἡμᾶς.

ἢ τὸ ἑξῆς διὰ τὴν ἀπόδοσιν τοῦ ἤχου.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· Χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· Χαῖρε ἀχείμαστε λιμήν, καὶ ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

* * *

Εὐθὺς [ὁ ἄμωμος εἰς στάσεις δύο] καὶ τά·

## ΝΕΚΡΩΣΙΜΑ ΕΥΛΟΓΗΤΑΡΙΑ

Ἦχος πλ. α´.

Εὐλογητὸς εἶ, Κύριε·
δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἁγίων ὁ χορὸς * εὗρε πηγὴν τῆς ζωῆς * καὶ θύραν παραδείσου· * εὕρω κἀγὼ * τὴν ὁδὸν διὰ τῆς μετανοίας· * τὸ ἀπολωλὸς * πρόβατον ἐγώ εἰμι· * ἀνακάλεσαί με, * Σωτήρ, καὶ σῶσόν με.

Εὐλογητὸς εἶ, Κύριε·
δίδαξόν με τὰ δικαιώματά σου.

Οἱ τὸν ἀμνὸν * τοῦ Θεοῦ κηρύξαντες * καὶ σφαγιασθέντες ὥσπερ ἄρνες * καὶ πρὸς ζωὴν * τὴν ἀγήρω, ἅγιοι, * καὶ ἀΐδιον μετατεθέντες, * τοῦτον ἐκτενῶς, * μάρτυρες, αἰτήσασθε * ὀφλημάτων λύσιν ἡμῖν δωρήσασθαι.

Εὐλογητὸς εἶ, Κύριε·
δίδαξόν με τὰ δικαιώματά σου.

Οἱ τὴν ὁδὸν * τὴν στενὴν βαδίσαντες * τεθλιμμένην πάντες οἱ ἐν βίῳ· * οἱ τὸν Σταυρὸν * ὡς ζυγὸν ἀράμενοι * καὶ ἐμοὶ ἀκολουθήσαντες ἐν πίστει, * δεῦτε ἀπολαύετε * ἃ ἡτοίμασα ὑμῖν βραβεῖα * καὶ στέφη τὰ οὐράνια.

Εὐλογητὸς εἶ, Κύριε·
δίδαξόν με τὰ δικαιώματά σου.

Εἰκών εἰμι * τῆς ἀρρήτου δόξης σου, * εἰ καὶ στίγματα φέρω πταισμάτων· * οἰκτείρησον * τὸ σὸν πλάσμα, Δέσποτα, * καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ * καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι, * παραδείσου πάλιν ποιῶν πολίτην με.

Εὐλογητὸς εἶ, Κύριε·
δίδαξόν με τὰ δικαιώματά σου.

Ὁ παλάμῃ * ἐκ μὴ ὄντων πλάσας με * καὶ εἰκόνι σου θείᾳ τιμήσας, * παραβάσει * ἐντολῆς δὲ πάλιν με * ἐπιστρέψας εἰς γῆν, ἐξ ἧς ἐλήφθην, * εἰς τὸ καθ᾽ ὁμοίωσιν ἐπανάγαγε * τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

Εὐλογητὸς εἶ, Κύριε·
δίδαξόν με τὰ δικαιώματά σου.

Ἀνάπαυσον, * ὁ Θεός, τοὺς δούλους σου * καὶ κατάταξον αὐτοὺς ἐν παραδείσῳ, * ὅπου χοροὶ * τῶν ἁγίων, Κύριε, * καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες· * τοὺς κεκοιμημένους δούλους σου ἀνάπαυσον, * παρορῶν αὐτῶν πάντα τὰ ἐγκλήματα.

Δόξα Πατρὶ καὶ Υἱῷ
καὶ ἁγίῳ Πνεύματι.

Τὸ τριλαμπὲς * τῆς μιᾶς Θεότητος * εὐσεβῶς ὑμνήσωμεν βοῶντες· * Ἅγιος εἶ, * ὁ Πατὴρ ὁ ἄναρχος, * ὁ συνάναρχος Υἱὸς καὶ τὸ θεῖον Πνεῦμα· * φώτισον ἡμᾶς * πίστει σοι λατρεύοντας * καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Χαῖρε σεμνή, * ἡ Θεὸν σαρκὶ τεκοῦσα * εἰς πάντων σωτηρίαν, * δι᾽ ἧς γένος τῶν ἀνθρώπων * εὕρατο τὴν σωτηρίαν· * διὰ σοῦ εὕροιμεν παράδεισον, * Θεοτόκε ἁγνὴ εὐλογημένη.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.
Δόξα σοι, ὁ Θεός (ἐκ γ´), καὶ ἀνάπαυσον
τὰς ψυχὰς τῶν δούλων σου.

* * *

Εἶτα ὁ ἱερεὺς ἱστάμενος πρὸ τῆς εἰκόνος τοῦ δεσπότου Χριστοῦ, κάτωθι τῆς ὁποίας εὑρίσκονται τὰ ὑπὲρ τῶν ἀποιχομένων κόλλυβα,

ἐκφωνεῖ τὸ μνημόσυνον τῶν κεκοιμημένων ὡς ἑξῆς·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ χορός· Κύριε, ἐλέησον. (ἐκ γ΄)

Ἔτι δεόμεθα ὑπὲρ αἰωνίου μνήμης καὶ μακαρίας ἀναπαύσεως πάντων τῶν ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένων εὐσεβῶς ὀρθοδόξων χριστιανῶν, βασιλέων, πατριαρχῶν, ἀρχιερέων, ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων, μοναχῶν, πατέρων, προπατόρων, πάππων, προπάππων, γονέων, συζύγων, τέκνων, ἀδελφῶν καὶ συγγενῶν ἡμῶν, [καὶ τῶν δούλων τοῦ Θεοῦ…] ἐκ τῶν ἀπ᾽ ἀρχῆς καὶ μέχρι τῶν ἐσχάτων, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὁ χορός· Κύριε, ἐλέησον. (ἐκ γ΄, χύμα)

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὰς ψυχὰς αὐτῶν ἔνθα οἱ δίκαιοι ἀναπαύονται.

Ὁ χορός· Κύριε, ἐλέησον. (ἐκ γ΄, χύμα)

Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν αὐτῶν ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Ὁ χορός· Παράσχου, Κύριε.

Ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον. (ἅπαξ)

Ὁ ἱερεὺς τὴν εὐχήν·

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταργήσας καὶ τὸν διάβολον καταπατήσας καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος, αὐτός, Κύριε, ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν κεκοιμημένων δούλων σου, βασιλέων, πατριαρχῶν, ἀρχιερέων, ἱερέων, ἱερομονάχων, μοναχῶν καὶ πάντων τῶν ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης κεκοιμημένων εὐσεβῶς ὀρθοδόξων χριστιανῶν, πατέρων, προπατόρων, πάππων, προπάππων, γονέων, συζύγων, τέκνων, ἀδελφῶν καὶ συγγενῶν ἡμῶν ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός· πᾶν ἁμάρτημα τὸ παρ᾽ αὐτῶν πραχθέν, ἐν λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, ὅτι οὐκ ἔστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ λόγος σου ἀλήθεια· ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις πάντων τῶν κεκοιμημένων εὐσεβῶς ὀρθοδόξων χριστιανῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

### Μετὰ δὲ τὴν Ἐκφώνησιν, Κάθισμα.

### Ἦχος πλ. α΄.

Ἀνάπαυσον Σωτὴρ ἡμῶν, μετὰ Δικαίων τοὺς δούλους σου, καὶ τούτους κατασκήνωσον ἐν ταῖς αὐλαῖς σου, καθὼς γέγραπται, παρορῶν ὡς ἀγαθὸς τὰ πλημμελήματα αὐτῶν, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, καὶ πάντα τὰ ἐν ἀγνοίᾳ καὶ γνώσει, Φιλάνθρωπε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ Χριστὲ ὁ Θεός, υἱοὺς φωτὸς δι᾽ αὐτῆς ἀναδείξας, ἐλέησον ἡμᾶς.

* * *

### [Ἀνάγνωσις εἰς τὴν Ἑξαήμερον]

* * *

### Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης τὸν ν΄ ψαλμόν, χύμα·

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

* * *

## ΟΙ ΚΑΝΟΝΕΣ

[Ἡ στιχολογία τῶν θ´ ᾠδῶν καὶ] ὁ κανὼν τοῦ Μηναίου (μετὰ τῶν εἱρμῶν) [τοῦ ἁγίου τῆς μονῆς] μέχρι τῆς ε´ ᾠδῆς μόνος, ἀπὸ δὲ τῆς ϛ´ ᾠδῆς μετὰ τῶν τετραῳδίων κανόνων τῆς ἡμέρας (Σαββάτου γ´ ἑβδομάδος νηστειῶν).

Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς·
*Κύριλλον ὑμνῶ τὸν πρόεδρον Αἰλίας.*
Θεοφάνους.

### Ὠιδὴ α´. Ἦχος δ´. Ὁ εἱρμός.

Τριστάτας κραταιούς, ὁ τεχθεὶς ἐκ Παρθένου, ἀπαθείας ἐν βυθῷ ψυχῆς τὸ τριμερές, καταπόντισον δέομαι, ὅπως σοι ὡς ἐν τυμπάνῳ, τῇ νεκρώσει τοῦ σώματος, ἐπινίκιον ᾄσω μελῴδημα.

### Τροπάρια.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Κοσμήσας τὴν ψυχήν, ἀρετῶν ταῖς ἰδέαις, χαρισμάτων δεκτικήν, τοῦ Πνεύματος αὐτήν, τοῦ Ἁγίου τετέλεκας· ὅθεν ἄβυσσον σοφίας, ἐξηρεύξω αἱρέσεων, τὰ πελάγη ξηραίνουσαν Κύριλλε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπέρτερον τὸν νοῦν, τῶν ἐνύλων εἰργάσω, τῶν ἀΰλων λειτουργῶν, συνόμιλος δειχθείς· τῷ πυρὶ δὲ τῶν λόγων σου, πᾶσαν ἔφλεξας τὴν ὕλην, τῶν αἱρέσεων Κύριλλε, Ἐκκλησίας πυρσὸς ὁ ἀκοίμητος.

Δόξα.

Ῥημάτων σου ὀδμαῖς, ἠδυπνόοις μανίας, τὸν ἐπώνυμον σοφέ, αἱρέσεων πασῶν, τὸν ἀνύποιστον βόρβορον, ἤλασας μακρὰν ποιήσας, ὡς ποιμὴν ἀληθέστατος, ὡς Χριστοῦ εὐωδία γενόμενος.

Καὶ νῦν. Θεοτοκίον.

Ἰλύος ἐκ παθῶν, λογισμῶν τρικυμίας, ἐκ βελῶν τοῦ πονηροῦ, ἐκ πάσης προσβολῆς, ἐναντίας διάσωσον, ἅπαντας τοὺς ἀνυμνοῦντας, σοῦ πανάμωμε Δέσποινα, τὸν ἀνέκφραστον τόκον Πανάχραντε.

Τοῦ Ἁγίου. Ὠιδὴ γʹ.
Ἦχος δʹ. Ὁ εἱρμός.

Ὅτι στεῖρα ἔτεκεν, ἡ ἐξ Ἐθνῶν Ἐκκλησία, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε Συναγωγή, τῷ θαυμαστῷ Θεῷ ἡμῶν βοήσωμεν· Ἅγιος εἶ Κύριε.

Τροπάρια.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Λάμπων ταῖς φαιδρότησι, πνευματικῆς τῆς σοφίας, τὸ τριφεγγὲς τῆς Θείας Τριάδος, Πάτερ τηλαυγῶς, τοῖς ἐπὶ γῆς ἐτράνωσας, δι᾿ ἧς σκότους πλάνης ἐλυτρώθημεν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Λύρα ὤφθης Πνεύματος, τοῦ παναγίου Θεόφρον, ἀναφωνοῦσα μέλος ἐπιφανείας τοῦ Χριστοῦ, ὃν ἐν δυσὶ ταῖς φύσεσιν ἐκήρυξας, θέλγων τὰς ψυχὰς ἡμῶν.

Δόξα.

Οἶκος ἁγιάσματος, σοῦ ἡ ψυχὴ ἀνεδείχθη, ἐν ᾧ Πατὴρ Υἱός τε καὶ Πνεῦμα τὸ ζωαρχικόν, ὑπερφυῶς κατῴκησεν, ᾧ ψάλλομεν· Ἅγιος εἶ Κύριε.

Καὶ νῦν. Θεοτοκίον.

Νοῦς οὐδὲ οὐράνιος, τὴν ὑπὲρ νοῦν σου λοχείαν, διερμηνεύει Κόρη· Νοῦ γὰρ τοῦ πρώτου ἐν γαστρί, Λόγον Ἁγνὴ συνέλαβες, τὸν τὰ πάντα λόγῳ συστησάμενον.

Καὶ πάλιν ὁ εἱρμός.

Ὅτι στεῖρα ἔτεκεν, ἡ ἐξ Ἐθνῶν Ἐκκλησία, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε Συναγωγή, τῷ θαυμαστῷ Θεῷ ἡμῶν βοήσωμεν· Ἅγιος εἶ Κύριε.

Συναπτὴ μικρά, μεθ᾿ ἣν ἐκφώνησις·
Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

## ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Κάθισμα.
Ἦχος πλ. δʹ. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν σοφίαν τοῦ Λόγου πεπλουτηκώς, ἐξηρεύξω δογμάτων ῥεῖθρα ζωῆς, καὶ πᾶσαν κατήρδευσας, εὐσεβούντων διάνοιαν· καὶ βακτηρίᾳ θείᾳ, ποιμάνας τὸ ποίμνιον, ἐπὶ χλόην θείας, ἐξέθρεψας γνώσεως· ὅθεν ὡς Ποιμένα, καὶ Διδάσκαλον μέγαν, καὶ Πίστεως πρόμαχον, εὐφημοῦμέν σε Κύριλλε, Ἱεράρχα κραυγάζοντες· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ἦχος αʹ. Τὸν τάφον σου Σωτήρ.

Ἡ γλῶσσά σου σοφέ, θεϊκαῖς ἐπιπνοίαις, ἐφώτισε λαούς, μίαν σέβειν Τριάδα, τῇ φύσει ἀμέριστον, μεριστὴν τοῖς προσώποις δέ· ὅθεν χαίροντες, τὴν παναγίαν σου μνήμην, ἑορτάζομεν, πρὸς τὸν Θεὸν πρεσβευτήν σε, ἀεὶ προβαλλόμενοι.

Καὶ νῦν. Θεοτοκίον.

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· καὶ ἀνάγαγε, ἐκ ῥαθυμίας πταισμάτων, τοῦ δοξάζειν σε, παντελεῆμον τὴν μόνην, ἐλπίδα τῶν δούλων σου.

* * *

Εἶτα αἱ δʹ, εʹ καὶ ϛʹ ᾠδαὶ τοῦ κανόνος.

Τοῦ Ἁγίου. Ὠιδὴ δʹ.
Ἦχος δʹ. Ὁ εἱρμός.

Τοὺς οὐρανοὺς ἡ ἀρετή σου κατεκάλυψε, καὶ ἡ γῆ ἐπληρώθη τῆς δόξης σου Χριστέ· διὸ ἀπαύστως κράζομεν· Δόξα τῇ δυνάμει σου Κύριε.

Τροπάρια.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπερκοσμίου τῆς σοφίας ῥεῖθρον Ὅσιε, σοῦ ἡ καρδία δεξαμένη ἐξηρεύξατο, διδασκαλίας ἄβυσσον, νόας ἀσεβούντων βυθίζουσαν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μίαν ἰσχὺν μίαν οὐσίαν καὶ βούλησιν, τρισυποστάτου Θεότητος ἐκήρυξας, καὶ πολυθέου Κύριλλε, πλάνης τὸν χειμάῤῥουν διέλυσας.

Δόξα.

Νοῦν βορβορώδη καὶ παράφρονα τοῦ Μάνεντος, ὡς νουνεχὴς καὶ θεοδίδακτος μακάριε, ταῖς ἀστραπαῖς τῶν λόγων σου, φλέξας ἐμφανῶς ἐστηλίτευσας.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς ἀνωτέρα πάντων τῶν ποιημάτων Ἁγνή, τὸν Ποιητὴν τῆς κτίσεως συνέλαβες, καὶ ὑπὲρ φύσιν τέτοκας, φύσιν τὴν ἡμῶν ἀναπλάττοντα.

Τοῦ Ἁγίου. Ὠιδὴ ε΄.
Ἦχος δ΄. Ὁ εἱρμός.

Σὺ Κύριέ μου φῶς, εἰς τὸν Κόσμον ἐλήλυθας· φῶς ἅγιον ἐπιστρέφον, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντάς σε.

Τροπάρια.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῇ ῥάβδῳ τῆς σεπτῆς, Ἱεράρχα σοφίας σου, ἐποίμανας ἐπὶ ὕδωρ, ὀρθοδόξου λατρείας, τὴν ποίμνην σου μακάριε.

Δόξα.

Ὁ λόγος σου φωτί, Θεϊκῷ ἀστραπτόμενος, ὦ Κύριλλε φωτισθέντων, ἐν Ἱεροσολύμοις, ἀχλὺν ἀγνοίας ἔλυσε.

Καὶ νῦν. Θεοτοκίον.

Νὺξ Πάναγνε παθῶν, καὶ κακῶν ἀμαυρότητες, καλύπτουσι τὴν ψυχήν μου· φωτοδότην τεκοῦσα, καταύγασόν με δέομαι.

Τοῦ Ἁγίου. Ὠιδὴ ϛ΄.
Ἦχος δ΄. Ὁ εἱρμός.

Ἐβόησε, προτυπῶν τὴν ταφὴν τὴν τριήμερον, ὁ Προφήτης, Ἰωνᾶς ἐν τῷ κήτει δεόμενος· Ἐκ φθορᾶς με ῥῦσαι, Ἰησοῦ βασιλεῦ τῶν δυνάμεων.

Τροπάρια.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ποταμὸς σύ, ὡς ἐξ ἄλλης Ἐδὲμ ἐκπεπόρευσαι, ζωηῤῥύτων, πεπλησμένος ναμάτων τοῦ Πνεύματος, καὶ τῆς Ἐκκλησίας, Ἱεράρχα μεθύσκεις τὰς αὔλακας.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥημάτων σου, τῷ πυρσῷ θαλαττίου ἐκ κλύδωνος, ἀσεβείας, διασσώζεις λαὸν Ἱερώτατε, γαληνὸν πρὸς ὅρμον, ὀρθοδόξως αὐτὸν ἐκκαλούμενος.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Οὐράνωσας, γεωθεῖσαν τὴν φύσιν Πανάμωμε, τῶν ἀνθρώπων, καὶ φθαρεῖσαν αὐτὴν ἐκαινούργησας· διὰ τοῦτο Κόρη, ἀσιγήτοις φωναῖς σε γεραίρομεν.

Τὸ Τετραῴδιον, οὗ Ἀκροστιχίς·
Ἄιδει ταῦτα Ἰωσήφ.

Ποίημα τοῦ Κυρίου Ἰωσήφ.

Ὠιδὴ ϛ΄. Ἦχος δ΄. Ἦλθον εἰς τὰ βάθη.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Αἱμάτων ἠρδεύσατε σταγόσι, τῶν εὐσεβῶν καρδίας, δυσσεβούντων δὲ τὰς παρατάξεις, περιφανῶς ἐν αὐταῖς ἐπνίξατε, Ἀθλοφόροι ἀξιάγαστοι.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Δοξάσαντες μέλεσιν οἰκείοις, τὸν τοῦ παντὸς Δεσπότην, νῦν δοξάζεσθε ἀδιαλείπτως, δόξα πιστῶν, Ἀθληταὶ ὑπάρχοντες, καὶ μεγάλοι ἀντιλήπτορες.

Νεκρώσιμον.

Στίχ. Πρεσβείαις τῶν μαρτύρων σου, Χριστὲ ὁ Θεός, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου

Ἐν λάκκῳ ἐτέθης κατωτάτῳ· τοῖς οὖν πιστῶς θανοῦσι, τὴν ἀνάπαυσιν Λόγε, παράσχου, τῶν ἱερῶν Ἀθλητῶν δεήσεσι, καὶ πταισμάτων ἀπολύτρωσιν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἵνα σε φωναῖς δαπρυσίοις, ἀνευφημῶμεν κόρη, τὰς φωνὰς ἡμῶν ταύτας προσδέχου, καὶ ἱλασμὸν ὀφλημάτων λήψεσθαι, τὸν Υἱόν σου καθικέτευε.

Ἕτερον Τετραῴδιον. Ὠιδὴ ϛ΄.
Ποίημα τοῦ κυρίου Θεοδώρου.

Ἦχος πλ. δ΄. Συνεχόμενον δέξαι με.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Νῦν Μαρτύρων πανήγυρις· συνδράμωμεν, καὶ τὰ ἆθλα αὐτῶν, τὰ πανσέβαστα μακαριοῦντες, Χριστὸν τὸν τούτους στέψαντα ὑμνήσωμεν.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἐν τῇ θείᾳ πυρούμενοι ἀγάπῃ Χριστοῦ, ἐπ᾽ ἀνθράκων πυρὸς διαβαίνετε, ὡς ἐπὶ δρόσου, αὐτὸν ὑμνοῦντες Μάρτυρες μακάριοι.

Δόξα.

Σὲ Τριὰς ὑπεράρχιε, καὶ θεία Μονάς, φῶς καὶ φῶτα μέλπω, ζωὴν καὶ ζωάς, Νοῦν Λόγον, Πνεῦμα ἅγιόν τε, καὶ ἅγια, τὸν ἕνα Θεόν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ τῆς ῥίζης ἀνέτειλε, σοῦ ἄνθος ζωῆς, Ἰεσσαὶ προπάτορ ἀνασκίρτησον, ὁ σῴζων κόσμον, ἐκ τῆς ἁγνῆς Νεάνιδος, Χριστὸς ὁ Θεός.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Πῦρ καὶ ξίφος καὶ θάνατον οὐ πτήξαντες, τὴν ὁμολογίαν διεσώσατε τῆς σωτηρίας, ὑπὸ Χριστοῦ νευρούμενοι μακάριοι.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν
ἐν ἀγαθοῖς αὐλισθήσονται.

Ἐν νεκροῖς ὁ ἐλεύθερος, ὡς ὢν ἀρχηγός, ζωῆς καὶ θανάτου, σὺ ἀνάπαυσον, οὓς προσελάβου, καὶ ἐν αὐλαῖς σου, σκήνωσον Φιλάνθρωπε.

Καὶ πάλιν ὁ εἱρμός.

Συνεχόμενον δέξαι με Φιλάνθρωπε, ἐκ πταισμάτων πολλῶν, καὶ προσπίπτοντα τοῖς οἰκτιρμοῖς σου, ὡς τὸν Προφήτην Κύριε, καὶ σῶσόν με.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·
Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον. Ἦχος πλ. δ΄.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον Χριστέ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Ὁ Οἶκος.

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος, ὁ ποιήσας καὶ πλάσας τὸν ἄνθρωπον· οἱ βροτοὶ οὖν ἐκ γῆς διεπλάσθημεν, καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα, καθὼς ἐκέλευσας ὁ πλάσας με, καὶ εἰπών μοι· Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· ὅπου πάντες βροτοὶ πορευσόμεθα, ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδὴν τό, Ἀλληλούϊα.

Συναξάριον.

Τῇ ΙΗ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Κυρίλλου, Ἀρχιεπισκόπου Ἱεροσολύμων.

Στίχ. Εἴσελθε, κέρδος ἐκ ταλάντων προσφέρων,
Εἰς τὴν χαράν, Κύριλλε, τοῦ σοῦ Κυρίου.

Ὀγδοάτῃ δεκάτῃ θάνατος μέλας εἷλε Κύριλλον.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι μύριοι Μάρτυρες, τοὺς αὐχένας τμηθέντες, τελειοῦνται.

Στίχ. Τμηθέντες ἄνδρες μύριοι τοὺς αὐχένας,
Ἀπῆλθον ἔνθα μυριόμματοι Νόες.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων Μαρτύρων Τροφίμου, Εὐκαρπίωνος, καὶ τῶν σὺν αὐτοῖς.

Στίχ. Τροφὴν ἄληκτον καρπὸν εὗρον καμίνου,
Εὐκαρπίων, Τρόφιμος οἱ ἀθληφόροι.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Κυρίλλου, Ἐπισκόπου Ἀστραχάν.

Στίχ. Πολλοὺς εἰς φῶς ὁ Κύριλλος ὁδηγήσας,
Ὁρᾷ τὸ ἀνέσπερον φῶς Βασιλείας.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

Εἶτα αἱ ζ΄ καὶ η΄ ᾠδαὶ τοῦ κανόνος.

Τοῦ Ἁγίου. Ὠιδὴ ζ΄.
Ἦχος δ΄. Ὁ εἱρμός.

Νέοι τρεῖς ἐν Βαβυλῶνι, πρόσταγμα τυραννικόν, εἰς φλήναφον θέμενοι, ἐν μέσῳ φλογὸς

ἀνεβόων· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τροπάρια.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἔχων πῦρ ἐν διανοίᾳ, φόβου Πάτερ τοῦ Θεοῦ, ὕλην ἀπετέφρωσας, τὴν τῶν ἡδονῶν ἀναμέλπων· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Δάκρυσι παθῶν τὴν φλόγα, σβέσας μάκαρ τὸν πυρσόν, ἐτήρησας ἄσβεστον, σοῦ τὸν τῆς ψυχῆς ἀνακράζων· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥεῖθρον ζῶν ἔχων τὴν χάριν, Πνεύματος ἐν τῇ ψυχῇ, θεόφρον ἀνέβλυσας, Πάτερ ποταμοὺς διδαγμάτων, τὴν Ἐκκλησίαν ἄρδοντας, εὐσεβῶς σε γεραίρουσαν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὅλην σε καθαγιάζει, Ἅγιος ὁ ἐκ τῆς σῆς, σαρκὸς δομησάμενος, σάρκα ἑαυτῷ Θεοτόκε, ὁ ἐν Ἁγίοις Κύριος, κατοικῶν καὶ Θεὸς ἡμῶν.

Τετραῴδιον. Ὠιδὴ ζ΄.
Ἦχος δ΄. Νέοι τρεῖς ἐν Βαβυλῶνι.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τίνι στέργουσα τὰ πάθη, τῶν ἀλόγων ἀληθῶς, ψυχὴ ἐξωμοίωσαι; τίνα ὑπερβάλλοντα ἔσχες, ἐν ἁμαρτίαις; βόησον τῷ Χριστῷ· Σῶσόν με Ἀγαθέ.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἅγιοι τὸν ἐν Ἁγίοις, αἰτήσατε ἐκτενῶς, ἐπαναπαυόμενον, ταῖς ἁγίαις ταύταις ἡμέραις, καθαγιάσαι πάντων, τῶν εὐσεβῶν τὰ φρονήματα.

Νεκρώσιμον.

Στίχ. Πρεσβείαις τῶν μαρτύρων σου, Χριστὲ ὁ Θεός, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου

Ὕψιστε ὁ ἐν ἐλέει, πλούσιος καὶ ἀγαθός, τοῖς δούλοις σου ἄφεσιν, τοῖς προκοιμηθεῖσι παράσχου, χοροῖς Ἁγίων τούτους, συναριθμῶν ὡς φιλάνθρωπος.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τέτοκας νομίμων δίχα, φύσεως τὸν Πλαστουργόν, γενόμενον ἄνθρωπον. Ἄχραντε αὐτὸν οὖν δυσώπει, πάντων τὰ ἀνομίας νῦν παριδεῖν, καὶ τὰ πταίσματα.

Εἱρμὸς ἄλλος. Ὠιδὴ ζ΄.
Ἦχος πλ. δ΄. Ὁ δι᾽ Ἀγγέλου Παῖδας.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ τῶν σεπτῶν Μαρτύρων, δείξας τὰ μνημόσυνα, χαρὰν τῇ Ἐκκλησίᾳ σου, καὶ ψυχῆς θυμηδίαν, εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Οὐ ψευδόμεθά σε Χριστέ, οὐδὲ ἀρνούμεθα, οἱ Μάρτυρες ἐκραύγαζον ἐν μέσῳ τῶν βασάνων, τοὺς παρανόμους δικαστὰς καταπλήττοντες.

Δόξα.

Ἐν τρισὶ προσώποις, μίαν φύσιν σέβομεν, Πατρὸς Υἱοῦ καὶ Πνεύματος, προφητικῶς βοῶντες· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Πῶς ὡς μήτηρ τίκτεις, καὶ παρθένος ἔμεινας; Ὅτι Θεὸν ἐγέννησα, μὴ ζήτει μοι τὸν τρόπον· ὅσα γὰρ βούλεται ποιεῖ· ἡ Θεόπαις βοᾷ.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ
ἐθαυμάστωσεν ὁ Κύριος,
πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

Μαρτυρικὴ χορεία, ἡ θεοφάνωτος, τοὺς δούλους σου ἀξίωσον, προσκυνητὰς γενέσθαι, τοῦ θείου καὶ ζωοποιοῦ τοῦ Σωτῆρος Σταυροῦ.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω
καὶ προσελάβου, Κύριε·
κατασκηνώσουσιν ἐν ταῖς αὐλαῖς σου.

Ὁ τῆς ζωῆς ταμίας, Βασιλεῦ ἀθάνατε, οὓς ἐξελέξω δούλους σου, ἐν πίστει καὶ ἐλπίδι, τῆς αἰωνίου σου ζωῆς, καταξίωσον.

Καὶ πάλιν ὁ εἱρμός.

Ὁ δι᾽ Ἀγγέλου Παῖδας, δροσίσας ἐν καμίνῳ, καὶ τὴν βροντῶσαν κάμινον, μεταβαλὼν εἰς δρόσον, εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τοῦ Ἁγίου. ᾨδὴ η´.
Ἦχος δ´. Ὁ εἱρμός.

Λυτρωτὰ τοῦ παντὸς Παντοδύναμε, τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλπειν· Πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Τροπάρια.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νυσταγμὸν ἀμελείας μακάριε, ἐκ βλεφάρων ψυχῆς ἀπωσάμενος, τὸν τοῖς δικαίοις πρέποντα, νῦν κεκοίμησαι ὕπνον, καὶ πρὸς ἡμέραν, ἀνεσπέρου φωτὸς μεταβέβηκας.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀστραπαῖς σου τῶν λόγων κατέφλεξας, φρυγανώδεις αἱρέσεις ἀοίδιμε, καὶ τοὺς πιστοὺς ἐφώτισας, μίαν σέβειν Τριάδα, τοῖς χαρακτῆρσιν, ἐν μονάδι ὑπάρχουσαν φύσεως.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱερεύσας σαυτὸν ταῖς ἀσκήσεσι, διὰ σὲ τῷ νεκρῷ χρηματίσαντι, σὺ ἀναιμάκτως τέθυκας, Ἱεράρχης ὡς θεῖος, ὡς Μυστηρίων, ἀποῤῥήτων διάκονος Κύριλλε.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Λυτρωθέντες ἀρᾶς τῆς Προμήτορος, διὰ σοῦ τῆς ἁγνῆς Θεομήτορος, εὐλογημένη Δέσποινα, εὐλογοῦμεν Παρθένε, δεδοξασμένη, τὸν πανάγιον τόκον σου σέβοντες.

Τετραῴδιον. ᾨδὴ η´.
Ἦχος δ´. Λυτρωτὰ τοῦ παντός.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἀπτοήτῳ χωροῦντες φρονήματι, πρὸς ἐπίπονα σκάμματα Μάρτυρες, πόνους σαρκὸς ὑπέστητε, καὶ πρὸς ἄπονον λῆξιν μετατεθέντες, πάντα πόνον καρδίας κουφίζετε.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Οἱ τὰ ἄνω φθαρτοῖς ἀλλαξάμενοι, σαρκικοῖς με φθειρόμενον πάθεσι, διὰ νηστείας σώσατε, καὶ εὐχῶν ἐμμελείας, Μάρτυρες θεῖοι, τὸν τῶν ὅλων Θεὸν ἱκετεύοντες.

Νεκρώσιμον.

Στίχ. Πρεσβείαις τῶν μαρτύρων σου, Χριστὲ ὁ Θεός, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου

Ἱκεσίαις Χριστὲ τῶν Μαρτύρων σου, τὰ ἐλέη σου πᾶσι κατάπεμψον· καὶ τοῖς πρὸς σὲ τὸν εὔσπλαγχνον, μεταστᾶσι τοῦ βίου, λύσιν παράσχου, ὀφλημάτων καὶ θείαν ἀνάπαυσιν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὡς τεκοῦσα Θεὸν ἀναμάρτητον, τὰς ἡμῶν ἁμαρτίας ἐξάλειψον, ταῖς μητρικαῖς πρεσβείαις σου, Θεοτόκε καὶ σῷζε, ἀναβοῶντας· Εὐλογεῖτε τὰ ἔργα, Κυρίου τὸν Κύριον.

Εἱρμὸς ἄλλος. ᾨδὴ η´.
Ἦχος πλ. δ´. Οἱ θεοῤῥήμονες Παῖδες.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Τὰς πυριφλέκτους βασάνους ἐνεγκόντες, ὡς δροσισμῷ Ἀθλοφόροι, μετὰ χαρᾶς ἀνεκράζετε· Εὐλογεῖτε τὰ ἔργα, Κυρίου τὸν Κύριον.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἡ θεοστράτευτος φάλαγξ τῶν Μαρτύρων, τροπωσαμένη τὴν πλάνην, νικητικῶς ἀνεκραύγαζεν· Εὐλογεῖτε τὰ ἔργα, Κυρίου τὸν Κύριον.

Στίχ. Εὐλογοῦμεν Πατέρα, Υἱὸν
καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον·
ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

Σὺν τῷ Υἱῷ τὸν Πατέρα προσκυνοῦντες, καὶ τὸ πανάγιον Πνεῦμα, πάντες πιστῶς ἐκβοήσωμεν· Τριὰς ἡ ἐν Μονάδι, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Σὺ καὶ Παρθένος καὶ Μήτηρ ἀνεδείχθης, κυοφοροῦσα ἀνάνδρως, Θεὸν τῶν ὅλων ἡ πάναγνος. Ἀλλ᾽ αὐτὸν ἐκδυσώπει, σωθῆναι τοὺς δούλους σου.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τῶν Ἀθλοφόρων πρεσβείαις τοὺς σοὺς δούλους, καὶ προσκυνῆσαι καὶ βλέψαι, Χριστὲ Σωτὴρ καταξίωσον, τὸν ζωοποιὸν Σταυρόν, τῆς σῆς ἀγαθότητος.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει τὴν γῆν.

Ὁ καταλύσας τὸ κράτος τοῦ θανάτου, τῇ ἐκ νεκρῶν σου Ἐγέρσει, τοὺς μεταστάντας ἀνάπαυσον, μετὰ τῶν ἐκλεκτῶν σου, αἰνεῖν σε τὸν Κύριον.

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν,
προσκυνοῦμεν τὸν Κύριον·
ὑμνοῦντες καὶ ὑπερυψοῦντες
αὐτὸν εἰς τοὺς αἰῶνας.

Καὶ πάλιν ὁ εἱρμός.

Οἱ θεοῤῥήμονες Παῖδες ἐν τῇ καμίνῳ, σὺν τῷ πυρὶ καὶ τὴν φλόγα, καταπατοῦντες ὑπέψαλλον· Εὐλογεῖτε τὰ ἔργα, Κυρίου τὸν Κύριον.

* * *

Ὁ διάκονος· Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.

## Η ΩιΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ἦχος πλ. δ΄.

Στίχ. α΄. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν * ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

Στίχ. β΄. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. γ΄. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. δ΄. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ε.΄ Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ϛ΄. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

* * *

Τοῦ Ἁγίου. Ὠιδὴ θ΄.
Ἦχος δ΄. Ὁ εἱρμός.

Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι, τὴν κατάραν εἰσῳκίσατο· σὺ δὲ Παρθένε Θεοτόκε, τῷ τῆς κυοφορίας βλαστήματι, τῷ κόσμῳ τὴν εὐλογίαν ἐξήνθησας· ὅθεν σε πάντες μεγαλύνομεν.

Τροπάρια.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰδεῖν ἐφιέμενος Χριστοῦ τὴν ἄῤῥητον, Ἱεράρχα δόξαν ἔσπευσας, πάθη νεκρῶσαι ψυχοφθόρα, καρδίαν τε δοχεῖον ποιήσασθαι, σοφί-

ας τῆς ἀμείνω καὶ κρείττονος· ὅθεν σε πίστει μακαρίζομεν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀστέρα πολύφωτον Χριστὸς ὁ Ἥλιος, Ἐκκλησίας ἐν τῷ ὕψει σε, ἔθετο Κύριλλε ἀκτῖσι, δογμάτων ἱερῶν καταυγάζοντα, καρδίας τῶν πιστῶς ἐκτελούντων σου, τὴν φωτοφόρον μνήμην Ὅσιε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Συνόμιλος καὶ συλλειτουργὸς γεγένησαι, τῶν Ἀγγέλων· ὡς γὰρ ἄσαρκος, Πάτερ ἐν γῇ ἐπολιτεύσω· Ὁσίων ἀνεδείχθης συμμέτοχος, καὶ τῶν Ἱεραρχῶν ἰσοστάσιος· οἷς συγχορεύων ἡμῶν μέμνησο.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Στειρεύουσαν θείων ἀρετῶν πανάχραντε, Θεοτόκε τὴν καρδίαν μου, δεῖξον Παρθένε καρποφόρον, ἐκ στείρας ἡ τεχθεῖσα βουλήματι, τὰ πάντα τοῦ ποιοῦντος τῷ νεύματι, ἵνα ὑμνῶ σε τὴν Πανύμνητον.

Τετραῴδιον. Ὠιδὴ θ΄.
Ἦχος δ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Στηρίξαντες πέτρᾳ νοητῇ, τὸ φρόνημα Ἀθλοφόροι, ἀπερίτρεπτοι, πάσαις ἐχθροῦ μηχανουργίαις ἐμείνατε· διό με τρεπόμενον, πρὸς πάθη ψυχοφθόρα στηρίξατε, ταῖς πρὸς τὸ Θεῖον παρακλήσεσιν.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἡ θεία καὶ ὄντως φωταυγής, ὁμήγυρις τῶν Μαρτύρων, καθικέτευε, τὸν ὑπεράγαθον Δεσπότην, καιρῷ τῆς ἐγκρατείας, συγχώρησιν, πταισμάτων ἡμῖν πᾶσι δωρήσασθαι, καὶ αἰωνίαν ἀγαλλίασιν.

Νεκρώσιμον.

Στίχ. Πρεσβείαις τῶν μαρτύρων σου, Χριστὲ ὁ Θεός, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου

Φιλάνθρωπε μόνε Ἀγαθέ, τοὺς δούλους σου ἐπ᾿ ἐλπίδι, ἀναστάσεως, κεκοιμημένους αἰωνίου, φωτός σου ἀνεσπέρου ἀξίωσον, μετέχειν καὶ τρυφῆς ἀπολαύσεως, ἵνα σε φόβῳ μεγαλύνωμεν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Φωτὸς οἰκητήριον ἡ σή, γεγένηται παναγία, μήτρα, Πάναγνε· ὅθεν πιστῶς ἀναβοῶ σοι· Τὰς κόρας τῆς ψυχῆς μου καταύγασον, καὶ τρίβον τὴν εὐθεῖαν ὑπόδειξον, τῷ σὲ γνησίως μακαρίζοντι.

Εἱρμὸς ἄλλος. Ὠιδὴ θ΄.
Ἦχος πλ. δ΄. Μεγαλύνομέν σε, τὴν Μητέρα.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Τῶν Μαρτύρων μνήμην, ἐκτελέσωμεν πιστοί, ἵνα τῆς ἐκείνων, κοινωνήσωμεν δόξης, εὐφημοῦντες τὰ ἆθλα, τῶν ἀγώνων αὐτῶν.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Τὴν ὑμῶν ἀνδρείαν, θῆρες ἔπτηξαν σφοδρῶς· ὑπεχώρησε πῦρ· συνετρίβησαν τόξα· ἐν ὑμῖν Ἀθλοφόροι, θαυμαστὸς ὁ Θεός.

Δόξα.

Ὑπεράρχιε φύσις, τρισυπόστατε Μονάς, Πάτερ, Υἱέ, καὶ Πνεῦμα ἅγιον, φῶς καὶ ζωὴ θεαρχία, τοὺς σὲ δοξολογοῦντας, διαφύλαττε.

Καὶ νῦν. Θεοτοκίον.

Εὐλογοῦμέν σε, τὸν Θεὸν τοῦ Ἰσραήλ, τὸν ἐκ τῆς Παρθένου, ἐπιφανέντα τῷ κόσμῳ, καὶ ἐγείραντα κέρας, σωτηρίας ἡμῖν.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος, πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

Πρεσβευταὶ τοῦ κόσμου, Ἀθλοφόροι τοῦ Χριστοῦ, τὸν αὐτοῦ ἰδέσθαι Σταυρόν, καὶ προσκυνῆσαι, καταξιώσατε πάντας, ἱκεσίαις ὑμῶν.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Ὅπου ἀναβλύζει, πηγὴ ζωῆς Υἱὲ Θεοῦ, καὶ ἐπισκοπεῖ σου, ὁ τοῦ προσώπου φωτισμός, τοὺς πρὸς σὲ μεταστάντας ἐγκατάταξον.

Καὶ πάλιν ὁ εἱρμός.

Μεγαλύνομέν σε, τὴν Μητέρα τοῦ φωτός, καὶ δοξάζομέν σε, Θεοτόκε Παρθένε, ὡς τεκοῦσαν Χριστόν, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Καί·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς * μακαρίζειν σε τὴν Θεοτόκον, * τὴν ἀειμακάριστον καὶ παναμώμητον * καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. * Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν * ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως * Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·
Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *

## ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

[τὸ Φωταγωγικὸν τὸ τοῦ ἤχου· καὶ]
Νεκρώσιμον.

Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὁ καὶ νεκρῶν καὶ ζώντων, ἐξουσιάζων ὡς Θεός, ἀνάπαυσον τοὺς σοὺς δούλους, ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν· εἰ γὰρ καὶ ἥμαρτον Σῶτερ, ἀλλ᾽ οὐκ ἀπέστησαν ἐκ σοῦ.

Θεοτοκίον. Ὅμοιον.

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, Χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

* * *

Εἰς τοὺς Αἴνους, τὰ μαρτυρικά. Δόξα. Τὸ νεκρώσιμον. Καὶ νῦν. Θεοτοκίον, τὰ κατὰ τὸν τυχόντα ἦχον τῆς ἑβδομάδος. Εἰς δὲ τὰ Ἀπόστιχα, τὰ στιχηρὰ προσόμοια τοῦ Θεοφάνους. Δόξα. Καὶ νῦν. Θεοτοκίον, τὰ τοῦ αὐτοῦ ἤχου.

## ΑΙΝΟΙ

Ἦχος πλ. α΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Ἡ Στιχολογία (Ψαλμοὶ ρμη΄, ρμθ΄) καί·

Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν
τὰ παρόντα Στιχηρὰ Μαρτυρικά.

Ἦχος πλ. α΄.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Εὐλογημένος ὁ στρατός, τοῦ βασιλέως τῶν οὐρανῶν· εἰ γὰρ καὶ γηγενεῖς ὑπῆρχον οἱ Ἀθλοφόροι, ἀλλὰ ἀγγελικὴν ἀξίαν ἔσπευδον φθάσαι, τῶν σωμάτων καταφρονήσαντες, καὶ διὰ τῶν παθημάτων, τῆς τῶν Ἀσωμάτων ἀξιωθέντες τιμῆς. Διὸ εὐχαῖς αὐτῶν Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Οἱ Ἀθλοφόροι σου Κύριε, τὰς τάξεις τῶν Ἀγγέλων μιμησάμενοι, ὡς ἀσώματοι ταῖς βασάνοις ἐνεκαρτέρησαν, μονολόγιστον ἐλπίδα ἔχοντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τὴν ἀπόλαυσιν. Ταῖς πρεσβείαις αὐτῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν εἰρήνην δώρησαι τῷ κόσμῳ σου, καὶ ταῖς ψυχαῖς ἡμῶν, τὸ μέγα ἔλεος.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Οἱ ἅγιοι Μάρτυρες, ἐπὶ τῆς γῆς ἠγωνίσαντο, τῷ ἀέρι ἐνεκαρτέρησαν, τῷ πυρὶ παρεδόθησαν, τὸ ὕδωρ αὐτοὺς ὑπεδέξατο· ἐκείνων ἐστὶν ἡ φωνή· Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες, ἡμᾶς εἰς ἀναψυχήν. Ταῖς πρεσβείαις αὐτῶν ὁ Θεός, ἐλέησον ἡμᾶς.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ἐν ταῖς βασάνοις ὄντες οἱ Ἅγιοι, ἀγαλλόμενοι ἐβόων· Συναλλάγματα ἡμῖν ἐστι ταῦτα, πρὸς τὸν Δεσπότην· ἀντὶ γὰρ τῶν ἐπανισταμένων, μωλώπων τῷ σώματι, φωτεινὸν ἔνδυμα, ἐν τῇ ἀναστάσει ἐπανθήσει ἡμῖν· ἀντὶ γὰρ τῆς ἀτιμίας οἱ στέφανοι· ἀντὶ δεσμωτηρίων ὁ Παράδεισος· καὶ ἀντὶ τῆς μετὰ τῶν κακούργων καταδίκης, ἡ μετὰ τῶν Ἀγγέλων διαγωγή. Εὐχαῖς αὐτῶν Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα. Νεκρώσιμον.

Σὺ ἔπλασάς με Κύριε, καὶ ἔθηκας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου, καὶ ἐνετείλω μοι καὶ εἶπας· Εἰς γῆν πάλιν πορεύσῃ. Ὁδήγησόν με εἰς εὐθεῖαν ὁδόν σου, συγχώρησόν μοι τὰ πλημμελήματά μου, καὶ σῶσόν με δέομαι Φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, ὅτι ἐκ σοῦ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ ἔχων τὸ μέγα ἔλεος.

* * *

## ΔΟΞΟΛΟΓΙΑ

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης ἀναγινώσκει χῦμα τὴν μικρὰν δοξολογίαν ὡς ἀκολούθως.

Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα ἐν ὑψίστοις Θεῷ * καὶ ἐπὶ γῆς εἰρήνη, * ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, * εὐλογοῦμέν σε, * προσκυνοῦμέν σε, * δοξολογοῦμέν σε, * εὐχαριστοῦμέν σοι * διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, * ἐπουράνιε Θεέ, * Πάτερ παντοκράτορ· * Κύριε Υἱὲ μονογενές, * Ἰησοῦ Χριστέ, * καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, * ὁ ἀμνὸς τοῦ Θεοῦ, * ὁ Υἱὸς τοῦ Πατρός, * ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, * ἐλέησον ἡμᾶς, * ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, * ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, * καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, * σὺ εἶ μόνος Κύριος, * Ἰησοῦς Χριστός, * εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε * καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα * καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, * καταφυγὴ ἐγενήθης ἡμῖν * ἐν γενεᾷ καὶ γενεᾷ. * Ἐγὼ εἶπα· * Κύριε, ἐλέησόν με· * ἴασαι τὴν ψυχήν μου, * ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· * δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, * ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· * ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου * τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, * ἐν τῇ ἡμέρᾳ ταύτῃ * ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, * ὁ Θεὸς τῶν πατέρων ἡμῶν, * καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου * εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, * τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, * καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· * δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα· * συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε· * φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· * τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, * σοὶ πρέπει ὕμνος, * σοὶ δόξα πρέπει, * τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, * νῦν καὶ ἀεὶ * καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἱερεύς· Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν... καὶ τὴν εὐχὴν τῆς κεφαλοκλισίας, καὶ οἱ χο-

ροὶ τὰς οἰκείας ἀποκρίσεις· Κύριε, ἐλέησον. Παράσχου, Κύριε, κτλ.

* * *

## ΤΑ ΑΠΟΣΤΙΧΑ

### Τὰ κατὰ τὸν τυχόντα ἦχον Νεκρώσιμα Προσόμοια τοῦ Θεοφάνους.

### Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Αἴγλη τοῦ σοῦ προσώπου Χριστέ, τοὺς μεταστάντας ὡς οἰκτίρμων κατάταξον, σκηνώσας εἰς τόπον χλόης, ἐπὶ ὑδάτων τῆς σῆς, ἀκραιφνοῦς καὶ θείας ἀπολαύσεως· ἐν κόλποις ἀνέσεως, Ἀβραὰμ τοῦ προπάτορος, ἔνθα τὸ φῶς σου καθαρῶς ἀναφαίνεται, καὶ προχέονται, αἱ πηγαὶ τῆς χρηστότητος· ἔνθα περιχορεύουσι, τρανῶς ἀγαλλόμεναι, αἱ τῶν δικαίων χορεῖαι, περὶ τὴν σὴν ἀγαθότητα· μεθ᾽ ὧν κατατάξαι, τοὺς ἱκέτας σου παράσχου, τὸ μέγα ἔλεος.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε· κατασκηνώσουσιν ἐν ταῖς αὐλαῖς σου.

Ψάλλειν παναρμονίῳ φωνῇ, δοξολογεῖν τε τὸ σὸν κράττος εὐδόκησον, Οἰκτίρμον τοὺς μεταστάντας, ἐκ τῶν προσκαίρων πρὸς σέ, τὸν Δεσπότην πάντων καὶ φιλάνθρωπον, διδοὺς ὡραιότητι, τοῦ σοῦ κάλλους ἐκλάμπεσθαι, καὶ τῆς γλυκείας καὶ τερπνῆς μετουσίας σου, ἀπολαύειν τε, καὶ τρυφᾷν καθαρώτερον· ἔνθα περὶ τὸν θρόνον σου, χορεύουσιν Ἄγγελοι, καὶ τῶν ἁγίων χορεῖαι, χαρμονικῶς περιέπουσι· μεθ᾽ ὧν τοῖς σοῖς δούλοις, τὴν ἀνάπαυσιν παράσχου, καὶ μέγα ἔλεος.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Ὅπου τῶν Προφητῶν ὁ χορός, τῶν Ἀποστόλων καὶ Μαρτύρων τὰ τάγματα, καὶ πάντες οἱ ἀπ᾽ αἰῶνος, δικαιωθέντες τῷ σῷ, σωτηρίῳ πάθει καὶ τῷ αἵματι, δι᾽ οὗ ἐξηγόρασας, τὸν αἰχμάλωτον ἄνθρωπον, ἐκεῖ τοὺς πίστει κοιμηθέντας ἀνάπαυσον, ὡς φιλάνθρωπος, συγχωρῶν ὅσα ἥμαρτον· μόνος γὰρ ἀναμάρτητος, ἐν γῇ πεπολίτευσαι, ἅγιος ὄντως καὶ μόνος, ἐν τεθνεῶσιν ἐλεύθερος· διὸ τοῖς σοῖς δούλοις, τὴν ἀνάπαυσιν παράσχου, καὶ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Νόμῳ τῆς ἁμαρτίας ἡμᾶς, δεδουλωμένους ἠλευθέρωσας Δέσποινα, ἐν μήτρᾳ τὸν νομοδότην, καὶ βασιλέα Χριστόν, συλλαβοῦσα μόνη Μητροπάρθενε· δι᾽ οὗ δικαιούμεθα, δωρεᾷ τε καὶ χάριτι· ὃν νῦν δυσώπει τὰς ψυχὰς τῶν ὑμνούντων σε, Θεομήτορα, βίβλῳ ζώντων ἐγγράψασθαι, ὅπως τῇ μεσιτείᾳ σου, σωθέντες Πανάμωμε, τῆς τοῦ Υἱοῦ σου εὐκταίας, ἀπολυτρώσεως τύχωμεν, αὐτὸν προσκυνοῦντες, τὸν παρέχοντα τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

* * *

Εἶτα ὁ προεστὼς ἢ ὁ ἱερεύς·

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (Ψαλμ. Ϟα΄ 2-3)

Ὁ ἀναγνώστης τὸ τρισάγιον κτλ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλονται τὰ ἀπολυτίκια.

Ἦχος β΄.

Ἀπόστολοι Μάρτυρες καὶ Προφῆται, Ἱεράρχαι Ὅσιοι καὶ Δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, παῤῥησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Δόξα. Νεκρώσιμον.

Μνήσθητι Κύριε, ὡς ἀγαθὸς τῶν δούλων σου, καὶ ὅσα ἐν βίῳ ἥμαρτον συγχώρησον· οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ σὺ ὁ δυνάμενος, καὶ τοῖς μεταστᾶσι δοῦναι τὴν ἀνάπαυσιν.

Καὶ νῦν. Θεοτοκίον.

Μήτηρ ἁγία ἡ τοῦ ἀφράστου φωτός, ἀγγελικοῖς σε ὕμνοις τιμῶντες μεγαλύνομεν.

Συνάπτομεν δὲ καὶ τὴν πρώτην Ὥραν·
καὶ Ἀπόλυσις.

* * * * *

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ὁ διάκονος τὰ εἰρηνικὰ
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι πρέπει σοι πᾶσα δόξα…

### ΑΝΤΙΦΩΝΑ

Τὰ συνήθη Ἀντίφωνα
(τὰ λεγόμενα τῶν καθημερινῶν).

Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς Ϟα΄ (91).

Στίχ. α΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. (Ϟα΄ 2)

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, * Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ. β΄. Τοῦ ἀναγγέλλειν τῷ πρωὶ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (Ϟα΄ 3)

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. γ΄. Ὅτι εὔφρανάς με, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. (Ϟα΄ 5)

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. δ΄. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. (Ϟα΄ 16)

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα. Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β΄. Ἦχος πλ. α΄. Ψαλμὸς Ϟβ΄ (92).

Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. (Ϟβ΄ 1)

Πρεσβείαις τῶν ἁγίων σου * σῶσον ἡμᾶς, Κύριε.

Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (Ϟβ΄ 1)

Πρεσβείαις τῶν ἁγίων σου * σῶσον ἡμᾶς, Κύριε.

Στίχ. γ΄. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. (Ϟβ΄ 4)

Πρεσβείαις τῶν ἁγίων σου * σῶσον ἡμᾶς, Κύριε.

Στίχ. δ΄. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. (Ϟβ΄ 5)

Πρεσβείαις τῶν ἁγίων σου * σῶσον ἡμᾶς, Κύριε.

Δόξα. Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, * ἀθάνατος ὑπάρχων * καὶ καταδεξάμενος * διὰ τὴν ἡμετέραν σωτηρίαν * σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου * καὶ ἀειπαρθένου Μαρίας, * ἀτρέπτως ἐνανθρωπήσας, * σταυρωθείς τε, Χριστὲ ὁ Θεός, * θανάτῳ θάνατον πατήσας, * εἷς ὢν τῆς ἁγίας Τριάδος, * συνδοξαζόμενος τῷ Πατρὶ * καὶ τῷ ἁγίῳ Πνεύματι, * σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄. Ἦχος β΄. Ψαλμὸς Ϟδ΄ (94).

Στίχ. α΄. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν. (Ϟδ΄1)

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, * ὁ ἐν ἁγίοις θαυμαστός, * ψάλλοντάς σοι· Ἀλληλούϊα.

Στίχ. β΄. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ. (Ϟδ΄2)

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, * ὁ ἐν ἁγίοις θαυμαστός...

Στίχ. γ΄. Ὅτι Θεὸς μέγας Κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. (Ϟδ΄3)

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, * ὁ ἐν ἁγίοις θαυμαστός...

Ψαλλομένου τοῦ δοξαστικοῦ τῶν μακαρισμῶν ἢ τοῦ γ΄ ἀντιφώνου γίνεται ἡ εἴσοδος μετὰ τοῦ Εὐαγγελίου.

* * *

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

### Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

* * *

### Ἀπολυτίκιον. Ἦχος β΄.

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)

Ἀπόστολοι Μάρτυρες καὶ Προφῆται, Ἱεράρχαι Ὅσιοι καὶ Δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, παῤῥησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

### Τῶν κεκοιμημένων. Ἦχος πλ. δ΄.

Μνήσθητι, Κύριε, ὡς ἀγαθὸς τῶν δούλων σου καὶ ὅσα ἐν βίῳ ἥμαρτον συγχώρησον, οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ σὺ ὁ δυνάμενος καὶ τοῖς μεταστᾶσι δοῦναι τὴν ἀνάπαυσιν.

### Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

### Κοντάκιον. Ἦχος πλ. δ΄.

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

### Καὶ τὸ ἑξῆς. Κοντάκιον. Ἦχος πλ. δ΄.

Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει σοι, Κύριε, τοὺς θεοφόρους Μάρτυρες. Ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ τὴν Ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου συντήρησον, Πολυέλεε.

* * *

## ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

* * *

## ΑΠΟΣΤΟΛΟΣ

### Τῆς ἡμέρας [καὶ Νεκρώσιμος].

### Προκείμενον. Ἦχος πλ. β΄. (Ψαλμὸς λα΄).

Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι, καὶ καυχᾶσθε, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. (λα΄ 11)

Στίχ. α΄. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. (λα΄ 1)

Στίχ. β΄. Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος. (λα΄ 2)

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (ι΄ 32-38)

### (Ζήτει τῷ Γ΄ Σαββάτῳ τῶν Νηστειῶν)

Ἀδελφοί, ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων. Τοῦτο μέν, ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι· τοῦτο δέ, κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες· καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν Οὐρανοῖς, καὶ μένουσαν. Μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην. Ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσητε τὴν ἐπαγγελίαν. Ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται.

### Ἕτερος εἰς κοιμηθέντας.

Πρὸς Θεσσαλονικεῖς Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (δ΄ 13-17)

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν

κελεύσματι, ἐν φωνῇ Ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ, καταβήσεται ἀπ᾿ οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον· ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

Ἀλληλούϊα. Ἦχος πλ. β΄. Ἐκλογή.

Στίχ. α΄. Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε· κατασκηνώσουσιν ἐν ταῖς αὐλαῖς σου. (ξδ΄ 5)

Στίχ. β΄. Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ἡρετίσατο. (κδ΄ 12)

## ΕΥΑΓΓΕΛΙΟΝ

Τῆς ἡμέρας [καὶ Νεκρώσιμον].

(Ζήτει τῷ Γ΄ Σαββάτῳ τῶν Νηστειῶν)

Ἐκ τοῦ κατὰ Μᾶρκον (β΄ 14-17).

Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς εἶδε Λευῒν τὸν τοῦ Ἀλφαίου, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ λέγει αὐτῷ· Ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. Καὶ ἐγένετο ἐν τῷ κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ· ἦσαν γὰρ πολλοί, καὶ ἠκολούθησαν αὐτῷ. Καὶ οἱ γραμματεῖς καὶ οἱ Φαρισαίοι ἰδόντες αὐτὸν ἐσθίοντα μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ· Τί ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει; Καὶ ἀκούσας ὁ Ἰησοῦς λέγει αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾿ οἱ κακῶς ἔχοντες· οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Ἕτερον εἰς κοιμηθέντας.

Ἐκ τοῦ κατὰ Ἰωάννην (ε΄ 24-30).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται· ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ· καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί. Μὴ θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ᾿ ἐμαυτοῦ οὐδέν. καθὼς ἀκούω κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός.

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ γίνεται τὸ κήρυγμα τοῦ θείου λόγου.

* * *

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία
τοῦ Ἱεροῦ Χρυσοστόμου.

* * *

Εἰς τό· Ἐξαιρέτως τῆς Παναγίας…

Ἄξιόν ἐστιν ὡς ἀληθῶς * μακαρίζειν σε τὴν Θεοτόκον, * τὴν ἀειμακάριστον καὶ παναμώμητον * καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. * Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν * ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως * Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

* * *

Κοινωνικόν. (Ψαλμ. ξδ΄ 5 & ρλδ΄ 13).

Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε· καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. Ἀλληλούϊα.

Μετὰ τὴν μετάδοσιν. Ἦχος β΄.

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, * ἐλάβομεν Πνεῦμα ἐπουράνιον, * εὕρομεν πίστιν ἀληθῆ, * ἀδιαίρετον Τριάδα προσκυνοῦντες· * αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…

Ἦχος β´.

Πληρωθήτω τὸ στόμα ἡμῶν * αἰνέσεώς σου, Κύριε, * ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, * ὅτι ἠξίωσας ἡμᾶς * τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· * τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, * ὅλην τὴν ἡμέραν * μελετῶντας τὴν δικαιοσύνην σου. * Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

* * *

## ΝΕΚΡΩΣΙΜΟΝ ΜΝΗΜΟΣΥΝΟΝ

Μετὰ τὴν ὀπισθάμβωνον εὐχήν·

Τὰ τροπάρια. Ἦχος δ´.

Μετὰ πνευμάτων δικαίων * τετελειωμένων * τὰς ψυχὰς τῶν δούλων σου, * Σῶτερ, ἀνάπαυσον, * φυλάττων αὐτὰς * εἰς τὴν μακαρίαν ζωὴν * τὴν παρὰ σοί, φιλάνθρωπε.

Εἰς τὴν κατάπαυσίν σου, Κύριε, * ὅπου πάντες οἱ ἅγιοί σου ἀναπαύονται, * ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν δούλων σου, * ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Δόξα.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν, * ὁ καταβὰς εἰς ᾅδην * καὶ τὰς ὀδύνας λύσας * τῶν πεπεδημένων· * αὐτὸς καὶ τὰς ψυχὰς τῶν δούλων σου, * Σῶτερ, ἀνάπαυσον.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ μόνη ἁγνὴ * καὶ ἄχραντος Παρθένος, * ἡ Θεὸν ἀσπόρως κυήσασα, * πρέσβευε τοῦ σωθῆναι * τὰς ψυχὰς τῶν δούλων σου.

Εἶτα ὁ ἱερεὺς ἱστάμενος πρὸ τῆς εἰκόνος τοῦ δεσπότου Χριστοῦ, κάτωθι τῆς ὁποίας εὑρίσκονται τὰ ὑπὲρ τῶν ἀποιχομένων κόλλυβα, ἐκφωνεῖ τὸ μνημόσυνον τῶν κεκοιμημένων ὡς ἑξῆς·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ χορός· Κύριε, ἐλέησον. (ἐκ γ´)

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως τῆς ψυχῆς τῶν κεκοιμημένων δούλων τοῦ Θεοῦ (καὶ μνημονεύει τὰ ὀνόματα ὑπὲρ ὧν τὰ κόλλυβα), καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὁ χορός· Κύριε, ἐλέησον. (ἐκ γ´, χύμα)

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὰς ψυχὰς αὐτῶν ἔνθα οἱ δίκαιοι ἀναπαύονται.

Ὁ χορός· Κύριε, ἐλέησον. (ἐκ γ´, χύμα)

Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν αὑτῶν ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Ὁ χορός· Παράσχου, Κύριε.

Ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον. (ἅπαξ)

Ὁ ἱερεὺς τὴν εὐχήν·

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν διάβολον καταπατήσας, τὸν δὲ θάνατον καταργήσας καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος, αὐτός, Κύριε, ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν κεκοιμημένων δούλων σου (ὀνόματα), ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός· πᾶν ἁμάρτημα τὸ παρ᾽ αὐτῶν πραχθέν, ἐν λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, ὅτι οὐκ ἔστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ λόγος σου ἀλήθεια· ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δούλων σου (ὀνόματα), Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς· Αἰωνία ὑμῶν ἡ μνήμη, ἀξιομακάριστοι καὶ ἀείμνηστοι ἀδελφοὶ ἡμῶν.

Ὁ χορός· Αἰωνία ἡ μνήμη αὐτῶν. (τρίς)

Εἶτα· Ἦχος β´.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον * ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (ἐκ γ´)

Ἀπόλυσις· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

Δι᾽ εὐχῶν... Ἀμήν.

* * * * *